17-10-2018

† Σύναξις τῶν 20 Ἁγίων Ἀναργύρων.

Εἰς τὸν Μέγαν Ἑσπερινόν.

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Ψαλμὸς ργ΄ (103).

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

ᾌσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν·

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα... Καὶ νῦν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καὶ μετὰ ἀπὸ κάθε αἴτηση]

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (......), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονῆς, Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοί, Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

# 17-10-2018 ΕΣΠΕΡΙΝΟΣ ΤΩΝ Κ' ΑΓΙΩΝ ΑΝΑΡΓΥΡΩΝ

Ἦχος πλ. δ' Νη




ΕΤΕΡΑ.



# 17-10-2018 ΕΣΠΕΡΙΝΟΣ ΤΩΝ Κ΄ ΑΓΙΩΝ ΑΝΑΡΓΥΡΩΝ



Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´
καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.
Ἦχος δ´. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ἦχος Πα






Ἡ Τριὰς ἡ ποιήσασα, ἐκ μὴ ὄντως τὰ σύμπαντα, ἐν ἑξάδι ἅπαντα συνεστήσατο, αὕτη ἡμᾶς τρισμακάριστοι, ἀκέστορας ἔνδοξε, ἰασρίθμους ἐπὶ γῆς, ὁμωνύμως κηρύττοντας, φῶς τρισήλιον, καὶ τὸν κόσμον ἰάσεων

πληροῦντες, ὦ Κοσμᾶ Δαμιανοί τε, τῶν Ἀναργύρων οἱ ἔξαρχοι.

Στίχος. Ε νε κεν του ο νο μα τος σου υ πε μει να σε Κυ ρι ε υ πε μει νεν η ψυ χη μου εις τον λο γον σου ηλ πι σεν η ψυ χη η μου ε πι ι τον Κυ ρι ον

Σὺν Ἀνθίμῳ Λεόντιον, καὶ Εὐτρόπιον Τρύφωνα, Κῦρον Ἰωάννήν τε καὶ Ἀνίκητον, Παντελεήμονα Μώκιον, Σαμψὼν καὶ Ἑρμόλαον, θεῖον Ἰουλιανόν, Διομήδην τὸν ἔνδοξον, καὶ Θαλλέλαιον, τοὺς ὁμόφρονας πάντες συνελθόντες, θεοσόφους Ἀναργύρους, ᾀσματικῶς ἀνυμνήσωμεν.

Στίχος. Α πο φυ λα κης πρω ι ας με χρι νυ κτος α πο φυ λα κης πρω ι ας

ελ πι σα τω Ισ ρα ηλ ε πι τον
Κυ ρι ον

Τοὺς ὡς ῥόδα ἀνθήσαντας, μαρτυρίου ἐν αἵμασιν, Ἀναργύρους ἅπαντες εὐφημήσωμεν, τὴν ἐν τῇ Ῥώμῃ ἀθλήσασαν, δυάδα τὴν πάντιμον, σὺν πεντάδι τῇ φαιδρᾷ, Διομήδην Ἀνίκητον, καὶ τὸν Τρύφωνα, τὸν Ἑρμόλαον ἅμα τῷ Μωκίῳ, τοὺς λαμπροὺς ἱερομύστας, καὶ τῶν πιστῶν τὰ προπύργια.

Στίχος. Ο τι πα ρα τω Κυ ρι ω
το ε λε ος και πολ λη παρ αυ τω λυ
τρω σις και αυ τος λυ τρω σε ται τον Ισ ρα
ηλ εκ πα σων των α νο μι ων αυ
του

Ἑωσφόρον τὸν ἄδυτον, Ἀναργύρων τὸν ἔκλαμπρον, καὶ Μαρτύρων καύχημα τὸ ὑπέρφωτον, Παντελεήμονα ἅπαντες, τὸν μέγαν ὑμνήσωμεν, καὶ Θαλλέλαιον ὁμοῦ, Ἰωάννην καὶ Κῦρόν τε Ἰουλιανόν, τοὺς ἑτοίμους προστάτας τοῖς τελοῦσι, τὴν φαιδρὰν καὶ φωτοφόρον, καὶ ἱερὰν αὐτῶν ἄθλησιν.

Στίχος. Αἰ νει τε τον Κυ ρι ον παν τα τα ε θνη ε παι νε σα τε αυ τον παν τες οι λα οι

Θεοδότης βλαστήματα, καὶ ἑώας αὐχήματα, ξυνωρὶς θεόλεγκτος ἀνεδείχθητε, κόσμος τῷ ὄντι οὐράνιος, Ὁσίων ἀγλάϊσμα, καὶ δικαίων καλλονή, ἀμισθὶ θεραπεύοντες οἱ αὐτάδελφοι, καὶ Σαμψὼν ἱερὸς ὁ ξενοδόχος, διὰ τοῦτο κατὰ χρέος, ὑμῶν τὴν μνήμην γεραίρομεν.

Στίχος. Ο τι ε κρα ται ω θη το ε λε ος αυ του εφ η μας και η α




Τοὺς εἰς ἓν νῦν συνάψαντας, ἱερώτατον τέμενος, καὶ σεπτὴν πανήγυριν καὶ σεβάσμιον, πιστῶς τελοῦντας λυτρώσασθε, ἐκ πάσης κακώσεως, καὶ πταισμάτων χαλεπῶν, δαψιλῶς πᾶσι νέμοντες τὰ ἰάματα, καὶ πταισμάτων τὴν λύσιν ἀναργύρως, ἵνα πόθῳ ἐτησίως, ὑμᾶς τιμῶμεν Ἀνάργυροι.


Ἦχος Πα.
Δο ο ο ξα Πα α τρι ι ι ι και αι αι
Υι ω και Α γι ι ω Πνευ μα α α
τι
Την ην εν δο ο ξον χο ο ρει ει αν και σε
βα σμι ι ον α α α θροι οι οι οι σμα
των θε ο φο ρω ω ων Α α α να αρ γυ
υ υ ρων δευ τε πι στως α νυ μνη η σω ω ω
μεν λε ε γο ο ο ον τες οι της χα ρι ι
τος δει ει χθε ε ε εν τες υ πουρ γοι α α α να
αρ γυ ρως ως ο Σω τηρ ε νε τει ει ει


λα α α α το δι ο και την χα ριν υ υ
μιν ε χο ρη η η γη η η η σεν α πα
σαν νο ο σον θε ε ε ρα πε ε ε ευ ειν
ι α α σθαι αι μα α κα α ρι ι ι οι
τα νο ση μα α τα η η μω ω ω ω ων και
πρε σβευ σα τε ε α α α δι ι ι α α λει
ει ει πτως ο πως τυ υ χω ω μεν α κα
τα κρι ι τως δι υ υ μων συμ πα ρα στη
ναι αι τω Χρι ι στω εν τη η με ε ρα α της
κρι ι ι σε ε ε ε ως

Και αι νυ υ υ υν και α α ει και εις
τους αι αι ω ω ω ω νας των αι αι ω ω
νων α α α μην

Τις μη μα κα ρι σει σε Πα να γι ι
α α α Πα α αρ θε ε ε ε νε τις μη α
νυ υ μνη σει ει ει σου τον α λο ο ο
ο χε ευ το ο ον το ο ο ο ο κον ο γαρ
α χρο νως εκ Πα τρος εκ λα αμ ψας Υι
ο ος μο ο νο ο ο γε νης ο αυ τος εκ
σου ου της α γνη η η ης προ ο ο η η
η ηλ θεν α α φρα α στως σαρ κω ω ω θεις

φυ υ σει Θε ο ο ο ος υ πα α αρ χων

και φυ σει γε νο ο με ε ε ε νος α αν

θρω ω ω πος δι ι ι ι ι η η η η μας ουκ

εις δυ α α α δα προ ο σω ω ω πων τε

μνο ο ο ο ο με ε ε ε νος αλλ εν δυ

α α δι φυ υ υ σε ε ε ων α συγ χυ τως

γνω ω ω ρι ζο ο ο με ε ε ε νος αυ

τον ι ι κε ε τε τε ευ ε σε ε μνη η

η παμ μα κα α α α α α ρι παμ μα κα

α ρι ι στε ε ε λε η θη η η η η

η η ναι τα ας ψυ χα α α ας η η η


η μω ω ω ω ων

# 17-10-2018 ΕϹΠΕΡΙΝΟϹ ΤΩΝ Κ΄ ΑΓΙΩΝ ΑΝΑΡΓΥΡΩΝ

Εἴσοδος, Φῶς ἱλαρὸν.

Ἦχος Δι






## ΤΑ ΠΡΟΚΕΙΜΕΝΑ ΚΑΤΑ ΤΟΝ ΚΑΘΟΡΙΣΜΕΝΟΝ ΗΧΟΝ

Προκείμενον.
Τῇ Κυριακῇ ἑσπέρας.

Ἦχος πλ. δ΄ Νη




Στίχ. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τὸ τρίτον.



Προκείμενον.
Τῇ Δευτέρᾳ ἑσπέρας.
Ἦχος δ΄.

Ἦχος Δι

Κυ υ ρι ος ει σα κου σε ται μου
εν τω κε κρα γε ε ναι με προς αυ το
ον (Δίς)

Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεός τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.

Τὸ τρίτον. Κυ ρι ος ει σα κου σε ται αι μου
εν τω κε κρα γε ναι με προς αυ το ο
ον

Προκείμενον.

Τῇ Τρίτῃ ἑσπέρας.

Ἦχος Πα

Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω ης μου (Δὶς)

Στίχ: Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Τὸ τρίτον: Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω η ης μου ου ου

## Προκείμενον.

## Τῇ Τετάρτῃ ἑσπέρας.

## Ἦχος πλ. δ΄ Κε




Στίχ. Ὁ Θεός εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.

Τὸ τρίτον.



## Προκείμενον.
## Τῇ Πέμπτῃ ἑσπέρας.

### Ἦχος πλ. α' Βου

Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γην (Δίς)

Στίχ. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τὸ τρίτον. Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γη η ην

## Προκείμενον.
## Τῇ Παρασκευῇ ἑσπέρας.

### Ἦχος Βαρὺς

Ο Θε ος αν τι λη πτωρ μου ει το ε
λε ο ος σου προ φθα α σει με (Δίς)

Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ’ ἐμὲ λύτρωσαί με.

Τὸ τρίτον. Ο Θε ος αν τι λη η πτωρ
μου ει ει το ε λε ο ος σου προ φθα α σει με ε
ε

## Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.
(Κεφ. ΜΓ΄ 9-14)

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
## (Κεφ. 3,1)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων, ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. ζ΄.7)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Ὁ Διάκονος:

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε, ἐλέησον (ἅπαξ).

Κύριε παντοκράτορ ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον (ἅπαξ).

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ,

τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε, ἐλέησον (ἅπαξ).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης:

Ἀμήν. Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν,

καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος:

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε, ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα

τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ

πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοί, Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Σοί, Κύριε.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας; οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς,

καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν Ἀναργύρων σεπτός, χορὸς ὁ θεῖος τὸν Θεὸν ἀγαπήσαντες, ψυχῆς ἐξ ὅλης καρδίας, καὶ διανοίας σοφοί, καὶ ἰσχύος ἄγαν ὡς ἐχέφρονες, δι᾽ Ὃν ἀγαπήσατε, ὁλοψύχως μακάριοι, καὶ τὸν πλησίον, ἑαυτὸν πλέον ἔνδοξοι, θεῖοι πρόμαχοι, ὡς ἐν ἔργῳ ἐδείξατε, τόπους γὰρ ἀμειβόμενοι, καὶ σφόδρα συμπάσχοντες, πᾶσιν αὐτοῖς ἀναργύρως ἐχορηγεῖτε τὴν ἴασιν, ἐξ ὧν καὶ οἱ πλείους, μαρτυρίας λαμπρῷ στέφει κατεκοσμήθητε.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Χαίροις τῶν Ἀναργύρων κλεινός, ὅμιλος θεῖος ἑαυτοὺς καταγώγια, Τριάδος τῆς ὑπερθέου, ἐνδεδειχότες σοφοί, τῇ καθάρσει πάντων καὶ ἁγνότητι, ψυχῆς καὶ τοῦ σώματος, λαμπρὰ ὤφθητε κάτοπτρα, καὶ ἐξ αὐτῆς τε, νῦν τρανῶς ἐλλαμπόμενοι, ἀναδείκνυσθε, ὥσπερ ἥλιοι πάμφωτοι, πᾶσαν γὰρ τὴν ὑφήλιον, ἀεὶ καταυγάζετε, ταῖς τῶν θαυμάτων ἀκτῖσι, σκότος παθῶν ἀπελαύνοντες, οὓς νῦν δυσωποῦμεν, ταῖς ψυχαῖς ἡμῶν αἰτεῖσθε τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Χαίροις τῶν Ἀναργύρων τερπνή, χορεία πᾶσα τὴν ὑφήλιον ἅπασαν, ᾀεὶ ἐπισκεπτόμενη, καὶ μετὰ πότμον καλῶς, ὡς καὶ ζῶσα φίλτρῳ τῷ πρὸς Κύριον, καὶ τῇ συμπαθείᾳ τε, τῇ πρὸς πάντας πανόλβιοι, κοινοὶ σωτῆρες, καὶ θερμότατοι πρόμαχοι, ἐνδεικνύμενοι, τὸν ναὸν ἡμῶν Ἅγιοι, πᾶσι τοῖς καταφεύγουσι, καὶ πίστει προστρέχουσι, κοινὸν σαφῶς ἰατρεῖον, καὶ ὡς πηγὴν ἀνεξάντλητον, ἀφ᾽ ἧς ἀπαντλοῦντες, τὰς ἰάσεις ἀνεκλείπτως ὑμᾶς γεραίρομεν.

Ἦχος πλ. δ΄ Νη


Δο ξα Πα α α τρι ι και Υι υι ω ω
και Α γι ι ω ω Πνε ε ε ε ε ευ μα α α
α α Πνε ευ μα τι
Τους νο ε ρους φω στη ρα ας της πι
ι ι στε ε ε ε ως και γεν ναι ους προ
μα α α χου ους της α λη η η η θει ει ει ει
ας Ερ μο λα ον τον εν δο ο ξον τον κα θη
γη την του σο φου ου Πα αν τε ε λε η
η η η η η η μο νος και Μω κι ι ο
ο ο ον το ον α ητ τη το ον τους κα θαι ρε


ε τα α α ας τηςπλα α α νης συν τη λοι πη
χο ρει α των Α α να αρ γυ υ υ ρω ων συ
νελ θον τες ευ φη μη σω ω με εν ση η με
ε ε ε ε ρον εν τη εν δο ξω ω μνη η μη
των συ να θλων Α ναρ γυ ρων και ο ο μο ο
τρο ο ο πων Κο σμα και Δα μι α α νου Λε
ο ντι ου και Αν θι ι ι μου ου και Ευ τρο
ο ο πι ι ι ι ου ου τοι οι γαρ ο ο μου
τω Χρι στω συμ πα α ρι ι ι στα α με
ε ε ε νοι τας ι α σει εις νε ε μου
ου ου σι τοις εν πι στει και πο θω τε ε




Δόξα. Ἦχος πλ. δ΄.

Τοὺς νοεροὺς φωστῆρας τῆς πίστεως, καὶ γενναίους προμάχους τῆς ἀληθείας, Ἑρμόλαον τὸν ἔνδοξον, τὸν καθηγητὴν τοῦ σοφοῦ Παντελεήμονος, καὶ Μώκιον τὸν ἀήττητον, τοὺς καθαιρέτας τῆς πλάνης, σὺν τῇ λοιπῇ χορείᾳ τῶν Ἀναργύρων, συνελθόντες εὐφημήσωμεν σήμερον, ἐν τῇ ἐνδόξῳ μνήμῃ τῶν συνάθλων Ἀναργύρων καὶ ὁμοτρόπων, Κοσμᾶ καὶ Δαμιανοῦ, Λεοντίου καὶ Ἀνθίμου καὶ Εὐτροπίου. Οὗτοι γὰρ ὁμοῦ τῷ Χριστῷ συμπαριστάμενοι, τὰς ἰάσεις νέμουσι, τοῖς ἐν πίστει καὶ πόθῳ τελοῦσι τὴν μνήμην αὐτῶν.


Και νυ υν και α ει και εις τους αι ω
νας των αι ω νων α μην
Α νυμ φευ τε Παρ θε νε η τον Θε ον α
φρα στως συ λλα βου ου σα σαρ κι μη τηρ Θε
ου του ου Υ ψι ι ι στου σων οι κε των πα
ρα κλη σεις δε χου πα να μω με η πα σι χο
ρη γου σα κα θα ρι σμο ον των πται σμα των
νυν τας η μων ι κε σι ι ας προσ δε χο
με ε νη δυ σω ω πει σω θη ναι παν τας η μα α
α ας

ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ὁ ἱερεὺς:

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

# 17-10-2018 ΕΣΠΕΡΙΝΟΣ ΤΩΝ Κ΄ ΑΓΙΩΝ ΑΝΑΡΓΥΡΩΝ

## Ἀπολυτίκιον.
## Ἦχος γ΄.
## Τὴν ὡραιότητα.

Τὴν εἰκοσάριθμον, ἔνθεον φάλαγγα, τὴν ἐξαστράπτουσαν, χάριν οὐράνιον, τῶν Ἀναργύρων τῶν λαμπρῶν, τὸ στῖφος ἀνευφημοῦμεν, οὗτοι γὰρ κατέβαλον, τοῦ βελίαρ τὴν δύναμιν, πάντων τὰ νοσήματα, συμπαθῶς ἐξιώμενοι, τῶν μετ᾽ εὐλαβείας βοώντων· δόξα Θεῷ τῷ ἐν Τριάδι.

Ἦχος Γα



ω με ε νοι των μετ ευ λα βει ει ας βο ων

των δο ο ξα Θε ω τω εν Τρι α δι

Δόξα Πατρί... Ὅμοιον.

Τὰ εὐωδέστατα, ἄνθη τῆς πίστεως, τὰ τὴν μύριπνοον, χάριν ἐμπνέοντα, τὴν νοητὴν καὶ λογικήν, Ἀνάργυροι οἱ ἔνδοξοι, πᾶσαν γὰρ ἐμπνέοντες, εὐωδίαν τοῦ Πνεύματος, νόσους θεραπεύουσι, καὶ παθῶν ἀπαλλάττουσι, διὸ εὐχαριστοῦντες βοῶμεν· δόξα Θεῷ τῷ ἐν Τριάδι.

Τα ευ ω δε στα τα α αν θη της πι

στε ως τα την μυ ρι πνο ο ον χα ριν εμ πνε

ον τα την νο η την και λο γι κην Α ναρ

γυ ροι οι εν δο ο ξοι πα σαν γαρ εμ πνε ον τε

ες ευ ω δι αν του Πνευ μα τος νο σους θε

ρα πευ ου σι και πα θω ων α παλ λατ του ου

σι δι ο ευ χα ρι στου ουν τες βο ω μεν

δο ο ξα Θε ω τω εν Τρι α δι

**Καὶ νῦν...**

Θεοτοκίον Και νυν και α ει και εις τους

αι ω νας των αι ω νων α μην

Θεοτοκίον.

Σε την με σι τευ σα σαν την σω τη ρι

αν του γε ε νους η μων α νυ μνου μεν Θε ο το

ο κε Παρ θε ε νε εν τη σαρ κι γαρ τη εκ σου

προ σλη φθει ση ο Υι ος σου και Θε ος η μων

το δι α Σταυ ρου κα τα δε ξα α με νος πα α θος




Ἀπόλυσις.

ΙΕΡΕΥΣ: Σοφία!

ΧΟΡΟΣ: Εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν. Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ: Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης: Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

ΙΕΡΕΥΣ: Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης: Δόξα... Καὶ νῦν..., Κύριε ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ: Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων,

ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

ΙΕΡΕΥΣ: Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Χορός: Ἀμήν.

## Τὸν Εὐλογοὺντα.

Τον ευ λο γου ου ουν τα και α γι ι
α ζον τα η μας Κυ ρι ε φυ λατ τε
ει ει εις πολ λα ε ε τη η η

## Τὸν Δεσπότην καὶ Ἀρχιερέα.

Τον Δε σπο την και Αρ χι ε ε ρε
α η μων Κυ ρι ε φυ λατ τε εις πολ
λα ε τη Δε σπο τα εις πολ λα
ε τη Δε σπο τα ει ει εις πο ολ λα ε τη
Δε ε σπο τα α α

Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.